πᾶς δέ τ' ἀνὴρ ἀγαθὸς Κύρνε δίκαιος ἐών.

(Theognidis)

χρήματα μὲν δαίμων καὶ παγκάκωι ἀνδρὶ δίδωσιν
Κύρν'· ἀρετῆς δ' ὀλίγοις ἀνδράσι μοῖρ' ἕπεται.

(Theognidis)

ὕβριν Κύρνε θεὸς πρῶτον κακῶι ὤπασεν ἀνδρί,
οὗ μέλλει χώρην μηδεμίαν θέμεναι.

(Solonis, fr. 6. 3-4)

τίκτει τοι κόρος ὕβριν, ὅταν κακῶι ὄλβος ἕπηται
ἀνθρώπωι καὶ ὅτωι μὴ νόος ἄρτιος ἦι.

---

μήποτέ μοι πενίην θυμοφθόρον ἀνδρὶ χαλεφθεὶς
μηδ' ἀχρημοσύνην οὐλομένην πρόφερε·
Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιρρέπει ἄλλοτε ἄλλως,
ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε μηδὲν ἔχειν.

(Theognidis)

μήποτε Κύρν' ἀγορᾶσθαι ἔπος μέγα· οἶδε γὰρ οὐδεὶς
ἀνθρώπων ὅτι νὺξ χἠμέρη ἀνδρὶ τελεῖ.

---

πολλοί τοι χρῶνται δειλαῖς φρεσί, δαίμονι δ' ἐσθλῶι,
οἷς τὸ κακὸν δοκέον γίνεται εἰς ἀγαθόν·

153 Clem. *Strom.* 6. 8. 8; schol. Pind. *Ol.* 13. 12e (Ὅμηρος); Paroem. Gr. i. 308. 4, ii. 218. 3 155-8+179-80 Stob. 4. 32. 36 157-8 Basil. *ad adulescentes* 5 p. 48 Boulenger